Σαββάτο 12 Ἀπριλίου 2014. Τῷ Σαββάτῳ πρὸ τῶν Βαΐων ἑορτάζομεν τὴν ἔγερσιν τοῦ ἐν τάφῳ τετραημέρου, ἁγίου καὶ δικαίου φίλου τοῦ Χριστοῦ Λαζάρου. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου Ἐπισκόπου Παρίου.

## Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν

### Ἐν τῷ ἑσπερινῷ

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ· *Πρὸς Κύριον*...εἰς τὸ· *Κύριε ἐκέκραξα*... ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας· *Τὴν ψυχωφελὴν πληρώσαντες Τεσσαρακοστὴν*...δίς, καὶ τὸ μαρτυρικὸν· *Μάρτυρες Κυρίου*...Εἶτα τά ε' στιχηρὰ ἰδιόμελα τοῦ Λαζάρου· *Κύριε, Λαζάρου θέλων τάφον ἰδεῖν*...*Κύριε, ἐπὶ τὸν τάφον τοῦ τετραημέρου*...*Κύριε, ἡ φωνή σου κατέλυσε*...*Κύριε, πιστῶσαι θέλων τοὺς Μαθητάς*...*Κύριε, παραλαμβάνων τοὺς Μαθητάς σου*...ποιοῦντες αὐτὰ ἑπτὰ. Δόξα...τὸ ἰδιόμελον· *Ἐπιστὰς τῷ μνήματι*...Καὶ νῦν...τὸ ἕτερον ἰδιόμελον· *Τὴν ψυχωφελῆ πληρώσαντες Τεσσαρακοστὴν*...Εἴσοδος, Φῶς ἱλαρόν, καὶ τὰ ἀναγνώσματα τῆς ἡμέρας· *Κατέπαυσεν Ἰακώβ*...(Γενέσως τὸ Ἀνάγνωσμα, Κεφ. ΜΘ' 33 καὶ Ν' 1-26), καὶ· *Υἱέ, ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ*...(Παροιμιῶν τὸ Ἀνάγνωσμα, Κεφ. ΛΑ' 8-31). Εἶτα τὸ· *Κατευθυνθήτω*...καὶ ἡ λοιπὴ ἀκολουθία τῆς λειτουργίας τῶν προηγιασμένων.

### Εἰς τὸ ἀπόδειπνον

Εὐλογήσαντος τοῦ ἱερέως ἀναγινώσκομεν ὡς ἔθος τὸ μικρὸν ἀπόδειπνον ἄνευ μετανοιῶν, κανόνος τῆς Θεοτόκου καὶ τῶν οἴκων αὐτῆς. Μετὰ δὲ τὸ· *Πιστεύω εἰς ἕνα Θεόν*...ψάλλομεν τὸν κανόνα τοῦ Λαζάρου· *Ὠδὴν ἐπινίκιον*...μετὰ τῶν εἱρμῶν, λέγοντες εἰς τὰ τροπάρια στίχον· *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*, εἰς δὲ τὰ δύο τελευταῖα ἑκάστης ᾠδῆς τὸ· *Δόξα*...καὶ τὸ· *Καὶ νῦν*...Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ κανόνος, ψάλλομεν αὖθις τὸν εἱρμὸν τῆς θ' ᾠδῆς· *Ἐποίησε κράτος*...Εἶτα τό· *Ἄξιόν*

*ἐστιν*...Τρισάγιον, τὸ κοντάκιον τοῦ Τριῳδίου· *Ἡ πάντων χαρά*...Καὶ τὰ λοιπὰ τοῦ μικροῦ ἀποδείπνου. Μετὰ δὲ τὸ· *Τὴν πᾶσαν ἐλπίδαν μου*...ὁ ἱερεὺς ποιεῖ τὴν μικρὰν ἀπόλυσιν εἶτα τὸ· *Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου*...καὶ τὸ· *Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν*...

## Ἐν τῷ μεσονυκτικῷ

Ἀναγινώσκομεν αὐτὸ τοῦ Σαββάτου, ὡς σύνηθες, ἐν τῷ νάρθηκι· ἀλλ' εἰς τὸ β' αὐτοῦ τρισάγιον, χῦμα τὸ ἀπολυτίκιον· *Τὴν κοινὴν ἀνάστασιν*... εἰς δὲ τὸ γ' τρισάγιον τὸ κοντάκιον· *Ἡ πάντων χαρά*...Εἶτα τὰ λοιπὰ ὡς σύνηθες καὶ ἡ ἀπόλυσις.

## Ἐν τῷ ὄρθρῳ

Μετὰ τὸν Εὐλογητὸν τοῦ ἱερέως, ὁ ἑξάψαλμος. Εἰς τὸ· *Θεὸς Κύριος*... τὸ ἀπολυτίκιον· *Τὴν κοινὴν ἀνάστασιν*...ἐκ γ'. Εὐθὺς ἡ στιχολογία τοῦ Ψαλτηρίου ὡς ἑξῆς: ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ'*, Δόξα, καὶ νῦν... καὶ ἀναγινώσκει τὸ ις' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι σὸν τὸ κράτος*...Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλεται τὸ κάθισμα· *Κατοικτείρας τῆς Μάρθας*...Δόξα...*Καὶ νῦν· τὸ αὐτὸ*...Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν.* Καὶ ἀναγινώσκει τὸ ιζ' κάθισμα τοῦ Ψαλτηρίου καὶ εἰς τὸ τέλος αὐτοῦ ἐπισυνάπτομεν τὰ ἀναστάσιμα *Εὐλογητάρια*. Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ηὐλόγηται σου*...Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλεται το κάθισμα· *Ἡ πηγὴ τῆς σοφίας*...Δόξα...*Καὶ νῦν· τὸ αὐτὸ*...Καὶ εὐθὺς τὸ· *Ἀνάστασιν Χριστοῦ θεασάμενοι*...καὶ ὁ ν' ψαλμὸς χῦμα.

**Εἶτα οἱ κανόνες ὡς ἑξῆς:** ὁ πρῶτος, μετὰ τῶν εἱρμῶν, εἰς η' τροπάρια καὶ ὁ δεύτερος, ἄνευ τῶν εἱρμῶν, εἰς ϛ' τροπάρια. Οὐ λέγομεν δὲ στίχον τὸν ἐκ τῆς στιχολογίας τοῦ Ψαλτηρίου, ἀλλὰ τοὺς μὲν εἱρμοὺς ἄνευ στίχου, τὰ δὲ τροπάρια μετὰ τοῦ στίχου· *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*, καὶ εἰς τὰ δύο τελευταῖα τροπάρια τοῦ δευτέρου κανόνος ἐν ἑκάστη ᾠδῇ

τὸ· *Δόξα*...καὶ τὸ· *Καὶ νῦν*...Καταβασίαι, οἱ εἱρμοὶ τοῦ κανόνος· *Ὑγρὰν διοδεύσας*...Ἀπὸ γ' ᾠδῆς, τὰ δύο καθίσματα τῆς ἑορτῆς· *Συμπαρέστησαν Χριστῷ*...Δόξα, καὶ νῦν· *Προγινώσκων τὰ πάντα ὡς ποιητής*...Ἀπὸ τῆς ϛ' ᾠδῆς παύουσιν οἱ κανόνες τοῦ Λαζάρου καὶ ψάλλονται τὰ τετραῴδια, τὸ μὲν πρῶτον, μετὰ τῶν εἱρμῶν, εἰς η' τροπάρια, τὸ δὲ δεύτερον, ἄνευ εἱρμῶν, εἰς ϛ' τροπάρια μετὰ τοῦ στίχου· *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι·* κατάβασίαι δὲ οἱ εἱρμοὶ τοῦ δευτέρου τετραῳδίου. Ἀφ' ἕκτης, κοντάκιον τοῦ Λαζάρου· *Ἡ πάντων χαρά*...καὶ ὁ οἶκος αὐτοῦ· Τοῖς *Μαθηταῖς ὁ Κτίστης τῶν ὅλων*...Συναξάριον, πρῶτον τοῦ Μηναίου, εἶτα τοῦ Τριῳδίου. **Ἡ τιμιωτέρα οὐ στιχολογεῖται**, ἀλλὰ ψάλλεται ἡ θ' ᾠδὴ τῶν δύο τετραῳδίων μετὰ τοῦ ῥηθέντος στίχου, καὶ εἶτα ἡ καταβασία· *Κυρίως Θεοτόκον*...καὶ ἡ αἴτησις.

**Εἶτα τὸ· *Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν,*** ἐκ γ' καὶ τὸ· *Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν*...καὶ μετ' αὐτὸ τὸ ἐξαποστειλάριον· *Λόγῳ σου Λόγε τοῦ Θεοῦ*...δίς, καὶ τὸ ἕτερον· *Δία Λαζάρου σὲ Χριστός*...Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους η' καὶ ψάλλομεν τὰ η' ἰδιόμελα τοῦ Λαζάρου· *Ἀνάστασις καὶ ζωὴ τῶν ἀνθρώπων*...*Λάζαρον τεθνεῶτα*...*Μάρθα καὶ Μαρία*...*Τῆς Θεότητός σου Χριστέ*...*Τεταρταῖον ἤγειρας τὸν φίλον σου Χριστέ*...*Μάρθα καὶ Μαρία ἐβόα*...*Λάζαρον τεθνεῶτα*...*Καθὼς εἶπας Κύριε τῇ Μάρθᾳ*...λέγοντες εἰς τὰ δύο τελευταῖα τοῦ συνήθεις τῆς Κυριακῆς στίχους. Δόξα...τὸ ἰδιόμελον· *Μέγα καὶ παράδοξον θαῦμα*...Καὶ νῦν· *Ὑπερευλογημένη ὑπάρχεις*...Δοξολογία μεγάλη, τὸ ἀπολυτίκιον· *Τὴν κοινὴν ἀνάστασιν*...ἐκτενής, ἀπόλυσις καὶ ἡ α' ὥρα ἐν τῷ νάρθηκι.

## Ἐν ταῖς ὥραις

Λέγομεν ἐν ταῖς ὥραις Δόξα, τὸ ἀπολυτίκιον· *Τὴν κοινὴν ἀνάστασιν*... καὶ εἰς τὸ τρισάγιον τὸ κοντάκιον· *Ἡ πάντων χαρά*...

## Εἰς τὴν Θείαν Λειτουργίαν

Τὰ τυπικὰ καὶ ἐν τοῖς μακαρισμοῖς ἡ γ' ᾠδὴ τοῦ πρώτου κανόνος τοῦ ἁγίου Λαζάρου, ἄνευ εἱρμοῦ, εἰς δ' τροπάρια καὶ ἡ ϛ' ᾠδὴ ἀμφοτέρων

τῶν τετραῳδίων, ἄνευ εἱρμῶν, εἰς δ' τροπάρια. Εἰσοδικὸν τό· *Δεῦτε προσκυνήσωμεν…ὁ ἀναστὰς ἐκ νεκρῶν…*Ἀπολυτίκια μετὰ τὴν εἴσοδον, τῆς ἑορτῆς· *Τὴν κοινὴν ἀνάστασιν…Δόξα…*Καὶ νῦν…τὸ κοντάκιον τῆς ἑορτῆς· *Ἡ πάντων χαρά…*Ἀντὶ δὲ τοῦ τρισαγίου τό· *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε…*Προκείμενον, ἀπόστολος, ἀλληλουϊάριον καὶ εὐαγγέλιον τοῦ Σαββάτου τοῦ Λαζάρου ὡς ἑξῆς: Ἀπόστολος· *Βασιλείαν ἀσάλευτον παραλαμβάνοντες ἔχωμεν χάριν…*(Ἑβρ. ιβ' 28-29, ιγ' 1-8), ὁ ζήτει τῷ Σαββάτῳ τοῦ Λαζάρου. Εὐαγγέλιον· *Ἦν τις ἀσθενῶν, Λάζαρος ἀπὸ Βηθανίας…*(Ἰωάν. ια' 1-45), ὁ ζήτει τὸ Σαββάτῳ τοῦ Λαζάρου. Εἰς τό· *Ἐξαιρέτως...*ὁ εἱρμὸς τῆς θ' ᾠδῆς· *Τὴν ἁγνὴν ἔνδοξος τιμήσωμεν…*Κοινωνικόν· *Ἐκ στόματος νηπίων…*Ἀντὶ δὲ τοῦ· *Εἴδομεν τὸ Φῶς…λέγομεν* τὸ ἀπολυτίκιον· *Τὴν κοινὴν ἀνάστασιν…Πληρωθήτω…Εἴη τὸ ὄνομα Κυρίου…* Δόξα…Καὶ νῦν…οἱ δύο ψαλμοί· *Εὐλογήσω τὸν Κύριον…Ὑψώσω σὲ ὁ Θεός μου…*καὶ ἡ ἀπόλυσις.

**Σημείωσις:** Ἡ ἀκολουθία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου Ἐπισκόπου Παρίου, ἔχει ψαλλεῖ εἰς τὰ ἀπόδειπνα κατὰ τὴν περίοδον τῆς Μεγάλης Τεσσαρακοστής.